259

ψαλτήρια καὶ ἀντίφθογγα τοῦ Δαδ· καὶ ἡ τῶν μέτρων χάρις·
ἡ τρίτη διαθήκη νομίζεται, καὶ ἡμεῖς ψαλμολογήσομεν·
καὶ πολλά γε γράψομεν καὶ μετρήσομεν· ἐπειδὴ δοκοῦμεν
καὶ ἡμεῖς πνεῦμα θεοῦ ἔχειν· εἴπερ πνεύματος χάρις τοῦτό ἐστιν, ἀλ-
λ᾽ οὐκ ἀνθρωπίνη καινοτομία· ταῦτά σε μαρτύρομαι διαμαρ-
τύρεσθαι τοῖς πολλοῖς· ἵνα μὴ αἰτίαν ἔχωμεν ὡς τοιοῦτον κα-
κὸν παρορῶντες· καὶ παρὰ τὴν ἡμετέραν ῥαθυμίαν,
τοῦ πονηροῦ δόγματος νομὴν καὶ ἰσχὺν λαμβάνοντος :—

† πρὸς κληδόνιον ἐπιστολὴ β' :—

Ἐπειδὴ πολλοὶ προσελθόντες τῇ σῇ εὐλαβείᾳ, πλη-
ροφορίας ζητοῦσι τῆς πίστεως· καὶ διὰ τοῦτο ἀγαπητικῶς
ἠξίωσας ἔκθεσιν σύντομον ὅρον τινὰ καὶ κανόνα τοῦ ἡ-
μετέρου φρονήματος· διὰ τοῦτο γράφομεν τῇ σῇ εὐλαβείᾳ,
ὃ καὶ πρὸ τῶν γραμμάτων ἐγνώριζες· ὅτι ἡμεῖς τῆς
κατὰ νίκαιαν πίστεως τῆς τῶν ἁγίων πατέρων τῶν ἐκεῖσε συνελθόν-
των, ἐπὶ καθαιρέσει τῆς ἀρειανῆς αἱρέσεως, οὐδὲν οὔτε
προετιμήσαμεν πώποτε, οὔτε προτιμᾶν δυνάμεθα·
ἀλλ᾽ ἐκείνης ἐσμὲν τῆς πίστεως σὺν θεῷ καὶ ἐσόμεθα· προσ-
διαρθροῦντες τὸ ἐλλιπῶς εἰρημένον ἐκείνοις περὶ τοῦ ἁ-
γίου πνεύματος, διὰ τὸ μήπω κεκινῆσθαι τηνικαῦτα τουτὶ τὸ ζή-
τημα· ὅτι μιᾶς θεότητος εἰδέναι χρὴ τὸν πατέρα καὶ τὸν
υἱὸν καὶ τὸ ἅγιον πνεῦμα· θεὸν καὶ τὸ πνεῦμα γνωρίζοντας·
τοὺς οὖν οὕτω φρονοῦντας καὶ διδάσκοντας, ὡς κοι-
νωνικοὺς ἐπεὶ καὶ ἡμᾶς· τοὺς δὲ ἑτέρως ἔχοντας, ἀπο-
τρεπόμεθα καὶ ἀλλοτρίους ἡγούμεθα καὶ τοῦ θεοῦ καὶ τῆς κα-
θολικῆς ἐκκλησίας· ἐπειδὴ δὲ καὶ περὶ τῆς θείας ἐναν-
θρωπήσεως ἢ τοῦ σαρκώσεως, κινεῖταί τι ζήτημα, καὶ

λό(γος), κη
φι γ